ΟΡ. ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;
ΦΡ. ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
ΟΡ. μὴ πέτρος γένῃ δέδοικας, ὥστε Γοργόν᾽ εἰσιδών;
ΦΡ. μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ᾽ οὐ κάτοιδ᾽ ἐγὼ κάρα.
ΟΡ. δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὅς σ᾽ ἀπαλλάξει κακῶν;
ΦΡ. πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ΟΡ. εὖ λέγεις· σῴζει σε σύνεσις. ἀλλὰ βαῖν᾽ εἴσω δόμων.
ΦΡ. οὐκ ἄρα κτενεῖς μ᾽; ΟΡ. ἀφεῖσαι. ΦΡ. καλὸν ἔπος λέγεις τόδε.
ΟΡ. ἀλλὰ μεταβουλευσόμεσθα. ΦΡ. τοῦτο δ᾽ οὐ καλῶς λέγεις.
ΟΡ. μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
οὔτε γὰρ γυνὴ πέφυκας οὔτ᾽ ἐν ἀνδράσιν σύ γ᾽ εἶ.
τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν οὕνεκ᾽ ἐξῆλθον δόμων·
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ᾽ οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους·
ἀλλ᾽ ἴτω ξανθοῖς ἐπ᾽ ὤμων βοστρύχοις γαυρούμενος·
εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβών,
τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σῴσει θανεῖν
σύγγονόν τ᾽ ἐμὴν Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.
ΧΟ. ἰὼ ἰὼ τύχα, antistr.
ἕτερον εἰς ἀγῶν᾽, ἕτερον αὖ δόμος

1518. πᾶσι om. A  1519. ἄπεχε γρ. ἄπαγε A ἄπεχε ceteri.
1525. κτανεῖς C  1528. πέφηνας B  ἐν om. C  1533. μολὼν B
1534. κἀμὲ μὴ σώζειν θέλῃ γρ. κἀμὲ μὴ σώσῃ θανεῖν A κἀμὲ μὴ σώσῃ θανεῖν B κἀμὲ μὴ σώζειν θέλῃ vel θέλει ceteri.  1538. αὖ om. C